Ακαδημία Αθηνών / Academy of Athens

*τὰς τῶν τμημάτων ἐπιφανείας, ἴσας ἢ ἀνίσους γιγνομένας;* Πρβλ. *διαλογίζεσθαι, μητίειν, σκέπτεσθαι.*

**διάνοια.** Σκέψη/νοῦς, thought/mind, Δημόκριτος 191.9 *τῶν μὲν ζηλουμένων καὶ θαυμαζομένων ὀλίγην μνήμην ἔχοντα καὶ τῇ δ ι α ν ο ί ᾳ μὴ προσεδρεύοντα.* Πρβλ. *νόησις, νοῦς.*

**διαπέτεσθαι.** Ξεπετιέμαι καὶ σκορπίζομαι, fly off and be scattered, Ἐμπεδοκλῆς 17.5 *ἡ δὲ πάλιν διαφυομένων θρεφθεῖσα δ ι έ π τ η.*

**διαπρεπής.** Περιφανὴς/ξεχωριστός, notable/outstanding, Δημόκριτος 195 *εἴδωλα ἐσθῆτι καὶ κόσμῳ δ ι α π ρ ε π έ α πρὸς θεωρίην, ἀλλὰ καρδίης κενεά.*

**διασκιδνάναι.** Διασκορπίζω, disperse, Ἐμπεδοκλῆς 84.4 *ἄψας παντοίων ἀνέμων λαμπτῆρας ἀμοργούς, οἵ τ' ἀνέμων μὲν πνεῦμα δ ι α σ κ ι δ ν ᾶ σ ι ν ἀέντων.* Πρβλ. *σκιδνάναι.*

**διασπᾶν.** Διασπῶ/ξεσχίζω, split/tear, Δημόκριτος 159.6 *τὰ μὲν ἀπώλεσε τοῦ σώματος ταῖς ἀμελείαις καὶ ἐξέλυσε ταῖς μέθαις, τὰ δὲ κατέφθειρε καὶ δ ι έ σ π α σ ε ταῖς φιληδονίαις.* || **διασπᾶσθαι.** Διασπῶμαι/διαχωρίζομαι, be separated, Ἐμπεδοκλῆς 63 *ἀλλὰ δ ι έ σ π α σ τ α ι μελέων φύσις· ἡ μὲν ἀνδρός.* Πρβλ. *διαιρεῖν, διατέμνεσθαι.*

**διάστημα 1.** Διάστημα (μουσικό), interval (musical), Ἀρχύτας 2.7-10-15 *καὶ ἐν ταῦτᾳ* <*τᾷ*> *ἀναλογίᾳ συμπίπτει ἦμεν τὸ τῶν μειζόνων ὅρων δ ι ά σ τ η μ α μεῖον, τὸ δὲ τῶν μειόνων μεῖζον . . . τούτων δ' οἱ μείζονες ἴσον ποιοῦνται τὸ δ ι ά σ τ η μ α καὶ οἱ μείους . . . γίνεται δ' ἐν ταύτᾳ τᾷ ἀναλογίᾳ τὸ τῶν μειζόνων ὅρων δ ι ά σ τ η μ α μεῖζον, τὸ δὲ τῶν μειόνων μεῖον* **2.** Ἀπόσταση/διαφορά, distance/difference, Δημόκριτος 191.5 *αἱ δ' ἐκ μεγάλων δ ι α σ τ η μ ά τ ω ν κινούμεναι τῶν ψυχέων οὔτε εὐσταθέες εἰσὶν οὔτε εὔθυμοι.*

**διαταγή** (συνών. *τάξις, διαθιγή*). Τάξη/διάταξη, order/arrangement, Δημόκριτος Α 125 (DK II 112,30) τὰ μὲν γὰρ στοιχεῖα

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ἄποια . . . τὰ δὲ ἐξ αὐτῶν συγκρίματα κεχρῶσθαι *διαταγῇ* τε καὶ ῥυθμῷ καὶ προτροπῇ. Πρβλ. *τάσσεσθαι, συντάσσεσθαι, σύνταγμα.*

**διατείνειν.** Ἐκτείνομαι πρὸς διάφορες κατευθύνσεις, be extended in various directions, Διογένης 6.6-24 *ἀπὸ τούτων* (sc. *τῶν φλεβῶν*) *καθ' ἅπαν τὸ σῶμα φλέβες διατείνουσιν . . . καὶ ἐπὶ τὸν ταρσὸν τοῦ ποδὸς καθήκουσι καὶ ἐντεῦθεν ἐπὶ τοὺς δακτύλους διατείνουσιν.* Πρβλ. *τείνειν, καθήκειν.*

**διατέμνεσθαι.** Διαχωρίζομαι/ἀποκόπτομαι, be separated/cut off, Ἐμπεδοκλῆς 20.4 *ἄλλοτε μὲν Φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα γυῖα, τὰ σῶμα λέλογχε, βίου θαλέθοντος ἐν ἀκμῇ· ἄλλοτε δ' αὖτε κακῇσι διατμηθέντ' Ἐρίδεσσι πλάζεται ἄνδιχ' ἕκαστα περὶ ῥηγμῖνι βίοιο.* Πρβλ. *διασπᾶσθαι.*

**διατιθέναι.** Διαρρυθμίζω, arrange/settle, Διογένης 5.4 *αὐτὸ γάρ μοι τοῦτο* (sc. *ὁ ἀήρ*) *θεὸς δοκεῖ εἶναι καὶ ἐπὶ πᾶν ἀφῖχθαι καὶ πάντα διατιθέναι καὶ ἐν παντὶ ἐνεῖναι.* Πρβλ. *διακεῖσθαι, διακοσμεῖν, διακόσμησις.*

**διασσᾶσθαι.** Περνῶ ἀπὸ κόσκινο, sift, Ἐμπεδοκλῆς 4.3 *ὡς δὲ παρ' ἡμετέρης κέλεται πιστώματα Μούσης, γνῶθι διασσηθέντος ἐνὶ σπλάγχνοισι λόγοιο.*

**διατριβαί.** Πραγματεῖες, studies/treatises, Ἀρχύτας 4 (τίτλ.) *ἐκ τῶν Ἀρχύτου διατριβῶν.*

**διαφέρειν 1.** Διαφέρω, differ, Ἀλκμαίων 1 a *ἄνθρωπον τῶν ἄλλων διαφέρειν ὅτι μόνον ξυνίησι, τὰ δ' ἄλλα αἰσθάνεται μέν, οὐ ξυνίησι δὲ* Διογένης 5.16 *ὅμοιον δὲ τοῦτο τὸ θερμὸν οὐδενὸς τῶν ζῴων ἐστὶν . . . ἀλλὰ διαφέρει μέγα μὲν οὔ, ἀλλ' ὥστε παραπλήσια εἶναι* Δημόκριτος 5 i (τίτλ.) *Περὶ τῶν διαφερόντων ῥυσμῶν* <*ἢ Περὶ ἰδεῶν*>. Πρβλ. *διέχειν* **2.** Ὑπερέχω/ὑπερτερῶ, surpass, Δημόκριτος 277.6 *καὶ τοῦτο τοσοῦτον διαφέρει, ὅσον ἐνταῦθα μὲν ἔστι τὸν παῖδα λαβεῖν καταθύμιον ἐκ πολλῶν, οἷον ἂν δέῃ* Ἀρχύτας 4.2 *καὶ δοκεῖ ἁ λογιστικὰ ποτὶ τὰν σοφίαν τῶν μὲν ἀλλᾶν τεχνᾶν καὶ πολὺ διαφέρειν, ἀτὰρ καὶ*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ